# 54. EXPLANATION OF THE PARABLE OF THE SOILS (Matt-Mark Identical)

| Matt 13:18-23 | Mark 4:13-20 |
|---|---|
| | Καὶ λέγει αὐτοῖς, |
| Ὑμεῖς οὖν ἀκούσατε | Οὐκ οἴδατε |
| τὴν παραβολὴν τοῦ σπείραντος. | τὴν παραβολὴν ταύτην, |
| | καὶ πῶς πάσας τὰς παραβολὰς γνώσεσθε |
| | 14 ὁ σπείρων τὸν λόγον σπείρει. |
| | 15 οὗτοι δέ εἰσιν οἱ παρὰ |
| | τὴν ὁδὸν |
| | ὅπου σπείρεται ὁ λόγος, |
| 19 παντὸς ἀκούοντος | καὶ ὅταν ἀκούσωσιν |
| τὸν λόγον τῆς βασιλείας | |
| καὶ μὴ συνιέντος, | |
| ἔρχεται ὁ πονηρὸς | εὐθὺς ἔρχεται ὁ Σατανᾶς |
| καὶ ἁρπάζει τὸ ἐσπαρμένον ἐν τῇ καρδίᾳ αὐτοῦ· | καὶ αἴρει τὸν λόγον τὸν ἐσπαρμένον εἰς αὐτούς. |
| οὗτός ἐστιν ὁ παρὰ τὴν ὁδὸν σπαρείς. | |
| | 16 καὶ οὗτοί εἰσιν |
| 20 ὁ δὲ ἐπὶ τὰ πετρώδη | οἱ ἐπὶ τὰ πετρώδη |
| σπαρείς, | σπειρόμενοι, |
| οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων | οἳ ὅταν ἀκούσωσιν τὸν λόγον |
| καὶ εὐθὺς μετὰ χαρᾶς | εὐθὺς μετὰ χαρᾶς |
| λαμβάνων αὐτόν· | λαμβάνουσιν αὐτόν, |
| 21 οὐκ ἔχει δὲ ῥίζαν | 17 καὶ οὐκ ἔχουσιν ῥίζαν |
| ἐν ἑαυτῷ | ἐν ἑαυτοῖς |
| ἀλλὰ πρόσκαιρός ἐστιν, | ἀλλὰ πρόσκαιροί εἰσιν· |
| γενομένης δὲ θλίψεως | εἶτα γενομένης θλίψεως |
| ἢ διωγμοῦ διὰ τὸν λόγον | ἢ διωγμοῦ διὰ τὸν λόγον |
| εὐθὺς σκανδαλίζεται. | εὐθὺς σκανδαλίζονται. |
| 22 ὁ δὲ | 18 καὶ ἄλλοι εἰσὶν οἱ |
| εἰς τὰς ἀκάνθας σπαρείς, | εἰς τὰς ἀκάνθας σπειρόμενοι· |
| οὗτός ἐστιν | οὗτοί εἰσιν |
| ὁ τὸν λόγον ἀκούων | οἱ τὸν λόγον ἀκούσαντες, |
| καὶ ἡ μέριμνα τοῦ αἰῶνος | 19 καὶ αἱ μέριμναι τοῦ αἰῶνος |
| καὶ ἡ ἀπάτη τοῦ πλούτου | καὶ ἡ ἀπάτη τοῦ πλούτου |
| | καὶ αἱ περὶ τὰ λοιπὰ ἐπιθυμίαι |
| | εἰσπορευόμεναι |
| συμπνίγει τὸν λόγον, | συμπνίγουσιν τὸν λόγον, |

| Matt 13:18-23 | Mark 4:13-20 |
|---|---|
| *καὶ ἄκαρπος γίνεται.* | *καὶ ἄκαρπος γίνεται.* |
| | *20 καὶ ἐκεῖνοί εἰσιν* |
| *23 ὁ δὲ ἐπὶ τὴν καλὴν γῆν* | *οἱ ἐπὶ τὴν γῆν τὴν καλὴν* |
| *σπαρείς,* | *σπαρέντες,* |
| *οὗτός ἐστιν* | *οἵτινες* |
| *ὁ τὸν λόγον ἀκούων* | *ἀκούουσιν τὸν λόγον* |
| *καὶ συνιείς,* | *καὶ παραδέχονται* |
| *ὃς δὴ καρποφορεῖ καὶ ποιεῖ* | *καὶ καρποφοροῦσιν* |
| *ὃ μὲν ἑκατόν,* | |
| *ὃ δὲ ἑξήκοντα, ὃ δὲ τριάκοντα.* | *ἓν τριάκοντα καὶ ἓν ἑξήκοντα* |
| | *καὶ ἓν ἑκατόν.* |

110 words out of 271 words = 41%